# TEZAUR LITURGIC

**6/7 DECEMBRIE**

**IACOB GRIGORIATUL**

# PARACLISUL

**SF.IERARH**

# NICOLAE,

**ARHIEPISCOPUL**

**MIRELOR LICHIEI**

*****

**SF.CUVIOS**

# GRIGORIE

**DE LA GRIGORIU-ATHOS**

**I**

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Παράκλησις
# ἁγ. ΝΙΚΟΛΑΟΥ Μύρων
# καὶ ὁσ. ΓΡΗΓΟΡΙΟΥ, ψαλλομένη
# ἐν τῇ Μ. Γρηγορίου

**Ποίημα Ιακώβου Γρηγοριάτου**

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρνβ’ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ Ἱεράρχῃ τοῦ Χριστοῦ νῦν προσπέσωμεν, καὶ τὴν εἰκόνα τὴν αὐτοῦ προσκυνήσωμεν, μετὰ θερμῆς τῆς πίστεως βοῶντες πρὸς αὐτόν· Ἅγιε Νικόλαε, ἐξελοῦ ἡμᾶς πάσης, συνοχῆς καὶ θλίψεως, καὶ ἐχθρῶν ἀοράτων, τοὺς μετὰ πόθου Ἅγιε τὸ σόν, ἐπιβοωμένους πανάγιον ὄνομα.

Δόξα τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμέν ποτε Θεοτόκε... ὉΝ΄Ψαλμός.

Εἶτα ὁ Κανών.

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Τῶν λυπηρῶν ἐπαγωγαὶ καὶ χείμαῤῥοι, δίκην θαλάσσης πικράς, καὶ ἀγριαινούσης, ἐπ’ ἐμὲ προσρήξασαι, ψυχῆς τὸ ἐφολκάδιον, κυματούσης

ἀθλίως, ἀλλ᾽ ὦ παμμάκαρ Νικόλαε, ῥῦσαι μὲ βυθοῦ ἀπογνώσεως.

Ἐξ ἀμετρήτων ἀναγκῶν Νικόλαε, τῶν συνεχόντων μὲ νῦν, καὶ ἐκ κατωτάτου ᾅδου ἀπογνώσεως, προσπεφευγότα σῶσόν με, σοῦ τὸ ἅγιον πίστει, ἐπικαλούμενον ὄνομα, καὶ δεινῶν παντοίων μὲ λύτρωσαι.

Νῦν πεποιθότα καὶ οἰκτρῶς δεόμενον, ἐπικουρίας τῆς σῆς, μὴ μὲ ἀποῤῥίψης, Ἅγιε Νικόλαε, δεινῶς καταποντούμενον, ἀπωλείας πελάγει, καὶ τοῖς δεινοῖς καταντλούμενον, ἀλλ᾽ ὡς συμπαθὴς με οἰκτείρησον.

Θεοτοκίον.

Οὐ σιωπήσω, ἀλλὰ πόθῳ κράξομαι, ἐκ κατωδύνου ψυχῆς, μέγιστε προστάτα, Ἅγιε Νικόλαε, μετὰ τῆς Θεομήτορος, ἐξελοῦ με θανάτου, τοῦ αἰωνίου ὡς ἔσωσας, βυθοῦ καὶ θανάτου, σοὺς πρόσφυγας.

ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἀπορήσας ὁ τάλας, ὡς τῶν κακῶν ἔμπλεως, ποίαν τῆς ἐμῆς σωτηρίας ἀρχὴν ποιήσωμαι; πῶς τῷ ἀστέκτῳ σου παρασταθήσομαι θρόνῳ; μὴ μὲ ἀποῤῥίψης Χριστέ, Νικολάου εὐχαῖς.

Ἐθαυμάστωσεν ὄντως, ὁ θαυμαστὸς Κύριος, σοῦ τὸ θεῖον ὄνομα ἐν οὐρανῷ, καὶ ἐν γῇ, ἀλλὰ θαυμάστωσον, τὰ σὰ ἐλέη παμμάκαρ, ἐπ᾽ ἐμοὶ τῷ δούλῳ σου τῷ ἐξαιτοῦντί σε.

Καταιγίδες θανάτου, τρικυμιῶν πέλαγος, νῦν καταλαβοῦσαι ἀθλίως τὴν ταπεινήν μου ψυχήν,

κατακαλύπτουσι, καὶ ἀπογνώσεως βόθρῳ, σπεύδουσιν ὀλέσαι με Ἅγιε πρόφθασον.

Θεοτοκίον.

Ἀληθῆ Θεοτόκον, ὁμολογῶ Δέσποινα, Σὲ τὴν τῆς ζωῆς μου μητέρα, καὶ Σὸν θεράποντα, θεῖον Νικόλαον, ἐπικαλοῦμαι προστάτας, τῆς οἰκτρᾶς αἰτήσεως μὴ ἀποπέσοιμι.

Διάσωσον, ἀπὸ κινδύνων τὴν ποίμνην σου Ἱεράρχα, ὅτι πάντες ἐν συμφοραῖς εἰς σὲ καταφεύγομεν, ὡς ἄγρυπνον φύλακά τε καὶ ῥύστην.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Προστάτης στεῤῥὸς καὶ μέγιστος ὑπέρμαχος, μεσίτης θερμὸς πρὸς τὸν Θεὸν ἀκαταίσχυντος, σὺ ὑπάρχεις Ἅγιε πάντων τῶν ἐπικαλουμένων σε, διὸ ῥύου ἡμᾶς κινδύνων καὶ θλίψεων, παμμακάριστε Νικόλαε.

ᾨδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Καὶ πῶς λοιπόν, σὲ τὸν τοῦ κόσμου κοσμήτορα, τῶν πταιόντων, μέγα ἱλαστήριον μετὰ τὴν Δέσποιναν τοῦ παντός, οὐ καθικετεύσω, καὶ κόρας οὐκ ἐξορύξομαι, ὀμμάτων δακρυῤῥόων, ὁ κατὰ νοῦν τυφλώττων, ἕως οὗ οἰκτειρήσῃς με, Ἅγιε;

Τὸν ποταμόν, τὸν χρυσοῤῥόαν τοῦ Πνεύματος, τὸν τὰ θεῖα ῥεῖθρα τῆς χρηστότητος, ὡς ἐξ Ἐδὲμ ἄλλος ποταμός, ψυχαῖς τηκομέναις, καὶ ἐκλιπούσαις πικρία παθῶν, προχέοντα πλουσίως, καὶ ζωῆς μεταδόντα, ἀνυμνήσωμεν μέγαν Νικόλαον.

Σὲ τὸ σεπτόν, τοῦ Πνεύματος καταγώγιον, ὁ καρδίαν καὶ ψυχὴν ἀκάθαρτος, πῶς εὐφημήσω, πῶς δ' ἀδεῶς, ὕμνον σοι προσοίσω, πῶς δὲ τὴν σὴν ἐνοπτρίσομαι, εἰκόνα τὴν ἁγίαν, ὀφθαλμοῖς ἀκολάστοις, ἀλλ' εἰς γῆν νενευκὼς κράζω σῶσόν με.

Θεοτοκίον.

Πῶς σου Ἁγνή, τῆς θείας δόξης ἐκπέπτωκα; πῶς Ἀγγέλων ὀφθαλμοῖς γεγένημαι, φευκτὸς ὁ τάλας καὶ στυγητός; οἴμοι τῷ ἀθλίῳ, καὶ τίς με γεέννης ῥύσεται· ἀλλ' οἴκτειρον Παρθένε, καὶ μετάνοιαν δίδου, ἱεροῦ Νικολάου δεήσεσι.

Ὠδὴ ε΄. Ἱνά τι μὲ ἀπώσω.

Εὐχαρίστως βοῶμεν, οἱ τῷ θείῳ τεμένει σου προσεδρεύοντες, καὶ προσκαρτεροῦντες, τῇ ὑμῶν εὐαγεῖ Μονῇ ταύτῃ πιστῶς, χαίρετε προστάται, Νικόλαε σὺν Γρηγορίω, καὶ ἡμᾶς ἐν εἰρήνῃ φρουρήσατε.

Οἱ μισοῦντες τὰ κάτω, καὶ τοῖς ἄνω τὸν πόθον ἀφοσιούμενοι, δεῦτε ἀδελφοί μου, ἑαυτοὺς τῷ Θεῷ ἀναθέμενοι, τοὺς διττοὺς προστάτας, σὺν τῇ πανάγνῳ Θεοτόκῳ, ἀκλινεὶς πρεσβευτὰς προβαλλόμεθα.

Ἀληθῆ σε ποιμένα, ἡ Χριστοῦ Ἐκκλησία καλῶς πλουτήσασα, ὑπὲρ τῶν προβάτων, τὴν ψυχὴν ἑαυτοῦ προτιθέμενον, σὲ προβάλλει πρέσβυν, ὑπὲρ ἡμῶν τῶν ἐπταικότων, τῷ εὐσπλάγχνῳ Θεῷ καὶ Οἰκτίρμονι.

Θεοτοκίον.

Τίσι δάκρυσι πλύνω, τῆς ἀθλίας ψυχῆς μου αἶσχος τὸ δύσμορφον; τί μοι καὶ ἀνθρώποις, καὶ ἐμοῖς ἀδελφοὶς συνευφραίνεσθαι, τῷ τὸ θεῖον κάλλος, καταῤῥυπώσαντι ἀθλίως; Παναγία παρθένε βοήθει μοι.

Ὠδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.

Τὰ νέφη, ἁμαρτιῶν καλύπτουσι, τῆς ψυχῆς τὸ θεοΰφαντον κάλλος, οἱ κατ᾽ ἐμέ, σὺν ἐμοὶ δεῦτε πάντες, τῷ φωταυγεῖ Ἱεράρχῃ προσέλθωμεν, καὶ κόρας ψυχῆς τὰς νοερᾶς, ἐλλαμφθῶμεν Χριστὸν ἐποψόμενοι.

Προστάτην σε, ἱερὸν καὶ πρόμαχον, κεκτημένη, ἡ ἁγία σου αὕτη, καὶ λογικὴ Μάνδρα τῇ εὐκλεεῖ σου, ὁμωνυμίᾳ καυχᾶται καὶ γάννυται, καὶ αὔξει καὶ καρποφορεῖ, τὸν τρισσὸν τοῦ Χριστοῦ καρποφόρημα.

Οὐ κρύψουσι, γῆ καὶ θάλασσα τότε, οὐδ᾽ Ἀγγέλων ἡ πληθὺς οὐ δαιμόνων, φάλαγξ δεινή, τοὺς Θεῷ ἐπταικότας, ἀλλὰ γυμνοὺς τῷ Κριτῇ παραστήσουσιν, εὐθύνας ὑφεύξοντας δεινῶς, τῶν πρακτέων, ψυχή μου γρηγόρησον.

Θεοτοκίον.

Κυκλοῦντές μου τὴν ψυχὴν ἐκύκλωσαν, ὥσπερ μέλισσαι κηρίον Παρθένε, ἀγριωπὸν τὸ δαιμόνιον σμῆνος, ἀλλὰ τῷ Σῷ παναγίῳ ὀνόματι, καὶ κλήσει Νικόλαε τῇ σῇ, ἠμυνάμην αὐτοὺς καὶ κατέῤῥαξα.

Διάσωσον ἀπὸ κινδύνων τὴν ποίμνην σου Ἱεράρχα, ὅτι πάντες ἐν συμφοραῖς εἰς σὲ καταφεύγομεν, ὡς ἄγρυπνον φύλακά τε καὶ ῥύστην.

Ἄχραντε...

Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.

Προστασία τῶν σῶν ἱκετῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς Θεὸν καὶ ὀξεῖα ἀντίληψις, μὴ παρίδῃς ἁμαρτωλῶν προσφύγων σου φωνάς, ἀλλὰ πρόφθασον ὡς συμπαθὴς καὶ ἐξελοῦ ἡμᾶς ἐχθρῶν τῶν κύκλῳ συνεπιτιθεμένων νῦν· τάχυνον ἐν ἀνάγκαις, βοήθησον ἐν κινδύνοις, ὁ προστατεύων ἐν δεινοῖς, ἱερώτατε Νικόλαε.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ...*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην. Εἶπεν ὁ Κύριος, ἐγὼ εἰμι ἡ θύρα...

Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Μὴ καταπιστεύσῃς με.

Στ. *Ἐλέησον με, ὁ Θεός...*

Ἱεράρχα μέγιστε, ἱερουργὲ τοῦ Κυρίου, ἱερὲ Νικόλαε, τῶν πιστῶν τὸ καύχημα καὶ ἐντρύφημα, Ἐκκλησίας στήριγμα, Ἱερέων δόξα, μοναζόντων ἐγκαλλώπισμα, δικαίων πρόμαχε, καὶ τῶν πτωχευόντων διάσωσμα, κινδύνων ἡμᾶς λύτρωσαι, τοὺς προσκαλουμένους σὸν ὄνομα, νόσων τε παντοίων, δαιμόνων ἐπιθέσεως δεινῆς, καὶ βασιλείας ἀξίωσον, τοὺς παρακαλοῦντάς σε.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

Φῶς τὸ τρισσὸν καὶ ἑνιαῖον, ἐνοικῆσαν ἐν τῇ σῇ καρδίᾳ μάκαρ, καταυγάζεις ἡμᾶς φωτὶ τῶν πρεσβειῶν σου, εὐλογητὸς εἶ κράζοντας, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Σκέπῃ τῇ σῇ καὶ προστασίᾳ, πεποιθότες τοῦ σατὰν μηχανουργίας, τὰς δεινὰς τοῦ δεινοῦ ἐχθροῦ καὶ ὀλετῆρος, καταπατοῦμεν κράζοντες· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὅλην ψυχῆς μου τὴν ἐλπίδα, ἀνατίθημι εἰς σὲ Χριστοῦ θεράπων, ὀρφανῶν καὶ χήρων πανεύσπλαγχνον πατέρα, καὶ πεπτωκότων ἔγερμα, καὶ ψυχῶν παραμυθίαν.

Θεοτοκίον.

Βλέψον ἱλέῳ ὄμματί Σου καὶ τὴν κάκωσιν καὶ πόνον τῆς ψυχῆς μου, μεταποίησον Σὺ χαρὰν ἀντιδιδοῦσα καὶ θρήνου με ἀπάλλαξον, αἰωνίου

Θεοτόκε.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.

Διὰ σπλάγχνα ἐλέους ὁ Δεσπότης, τὸν οἰκεῖον θεράποντα μεσίτην, ἡμῖν τοῖς ἀναξίοις προεστήσατο, σὺν τῷ Γρηγορίῳ, τούτοις μετὰ πόθου, προσέλθωμεν ἐν πίστει.

Περιστάσεις δειναὶ ἀμπλακημάτων, εὗροσάν με κακῶν ἐπικαρπίαι, τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος· νῆψον οὖν ψυχή μου, καὶ μὴ ἀπογνῷς σεαυτὴν κἂν ἐλεπρώθης.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα.

Ἐν ταῖς ζάλαις ψυχῆς καὶ ἐν θορύβοις, τὰ δαιμόνων συστήματα παγίδας, τὰς ἑαυτῶν καὶ θήρατρα κεκρύφασι, δράμε οὖν ψυχή μου, τῷ καλῷ ποιμένι, καὶ ζῆθι εἰς αἰῶνας.

Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε Κυρίου, χαῖρε θεῖον ἀνάκτορον Δεσπότου, χαῖρε Μαριὰμ, χαῖρε Νικόλαε, χαίρετε κατ᾽ ἄμφω, τὰ ἐμὴν ψυχήν, τρώσαντα γλυκέα βέλη.

Ὠδὴ θ΄.Ἐξέστη ἐπὶ τούτῳ.

Πρὸς τίνα ἐπιβλέψω ἔφης Χριστέ, ὅτι μὴ πρὸς τὸν πρᾶον καὶ ἥσυχον, καὶ τοὺς ἐμούς, λόγους ὑποτρέμοντα ὁλικῶς, ταῦτα δ᾽ ἐν νῷ τιθέμενος, ὁ σὸς Ἱεράρχης καὶ μιμητής, ὡς ἄλλος Μωσῆς μέγας, τοῖς πράγμασιν ἐπλήρου, καὶ ὑπὲρ πάντας ἐγνωρίζετο.

Οὐκ ἐστὶν ὅστις πέφευγε πρὸς τὴν σήν, προστασίαν καὶ ᾐσχύνθη πώποτε, οὐκ ὀρφανοί, οὐ χῆραι, οὐ πένητες, οὐ πτωχοί, ὁδίται θαλαττεύοντες, οἱ ἐν φυλακαῖς, οὐχ ἁμαρτωλοί, ἀλλ᾽ ἔτυχον ταχείας, σῆς Πάτερ βοηθείας· δόξα τῷ οὕτω σὲ δοξάσαντι.

Ἐν ὕμνοις ἐκθειάζοντες καὶ ἡμεῖς, σοῦ τὴν χάριν ποτὲ οὐ παυσόμεθα, οἱ τῷ σεπτῷ τούτῳ σου σεμνείῳ καὶ ἱερῷ, ἐγκαρτεροῦντες Ἅγιε, ὅτι ἡμᾶς θάλπεις ὡς νεοσσούς, διεὶς τὰς πτέρυγάς σου, ὡς ἀετὸς σκεπᾶσαι, τὴν νοσσιάν σου τὴν θεόλεκτον.

Θεοτοκίον.

Νῦν δέησιν προσάγει Σοι πενιχράν, ἐν κλαυθμῷ πικροτάτῳ καὶ δάκρυσιν, ὁ τὴν ζωήν, πᾶσαν διανύσας ἐν ῥυπαραῖς, φαυλεπιφαύλαις πράξεσιν, Ὕψιστον τεκοῦσα καὶ Λυτρωτήν, τὴν τάλαιναν ψυχήν μου, οἰκτείρησον καὶ σῶσον, Ὑπεραγία Μητροπάρθενε.

Μεγαλυνάρια.

Ἄξιον ἐστίν ὡς ἀληθῶς, μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβίμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

Νικόλαον πάντες τὸν ἰατρόν, ψυχῶν καὶ σωμάτων εὐφημήσωμεν οἱ πιστοί· χαίροις Ἱεράρχα Μυρέων τῆς Λυκίας, περίσῳζε τοὺς πίστει σὲ μεγαλύνοντας.

Γρηγόριε πάτερ τῶν Ἀσκητῶν, τοῦ Ἄθω τὸ κλέος, τῶν πατέρων καθοδηγός, τοὺς ἐν τῇ Μονῇ σου καὶ νῦν ἐνασκούμενους, ταῖς σαῖς εὐχαῖς στηρίζων πάντας περίσῳζε.

Ὀρφανῶν προστάτην σε καὶ χήρων, πεινώντων τροφέα, πενομένων τε πλουτιστήν, αἰχμαλώτων ῥύστην, καὶ πλεόντων Σωτῆρα, κεκτήμεθα παμμμάκαρ, σοφὲ Νικόλαε.

Μὴ παύσῃ πρεσβεύων τῷ λυτρωτῇ, Γρηγόριε πάτερ, τοῦ ῥυσθήναι ἡμᾶς κακῶν, καὶ πυρὸς γεέννης τῆς σῆς Μονῆς ὁ κτίτωρ, διὸ καὶ τὰ σὰ τέκνα σὲ μεγαλύνομεν.

Ὡς Νειλῷα ῥεῖθρα οὕτω τὰ σά, πλήθη τῶν θαυμάτων, τοὺς προστρέχοντας εὐλαβῶς, θείῳ σου τεμένει, ποτίζουσιν ἀφθόνως, ἐώμενα τὰς νόσους, πάντων Νικόλαε.

Ὕψωσον τὰς χεῖράς σου πρὸς Θεόν, ὑπὲρ τῆς σῆς ποίμνης, Ὅσιε Γρηγόριε πατὴρ ἡμῶν, καὶ Τοῦτον ἐκδυσώπει, ἡμᾶς ἀμπλακημάτων, ῥυσθῆναι καὶ μελλούσης φρικτῆς κολάσεως,

Χαῖρε καὶ ἀγάλλου καὶ σὺ σεπτόν, Ὄρος τὸ τοῦ Ἄθω, ὅτι εὗρες μέγαν φρουρόν, κλεινὸν Ἱεράρχην, τριῶν μονῶν προστάτην, Νικόλαον τὸν θεῖον, καὶ ὁροφύλακα.

Ὄνυχας ὀδόντας τε καὶ μαστούς, χεῖράς τε καὶ πόδας ἐκκοπεῖσα ἀνηλεῶς, ὄνυξιν ἐξέσθης, πυρὶ καταφλεχθεῖσα, Ἀναστασία Μάρτυς, Ὁσιοπάρθενε.

Πέτρον Παῦλον Μάρκον σὺν τῷ Λουκᾷ, Φίλιππον, Ματθαῖον, Ἰωάννην, Σίμωνα καὶ Θωμᾶν, τὸν κλεινὸν

Ἀνδρέαν, σὺν θείῳ Ἰακώβῳ, καὶ τὸν Βαρθολομαῖον ὕμνους τιμήσωμεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί...

Ἀπολυτίκιον τῶν Ἁγίων. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τριὰς θεόστεπτε, οἱ θεραπεύσαντες, Τριάδα πάνταρχον, ἡμᾶς γεραίρομεν, τοὺς πολιούχους τῆς μονῆς, Νικόλαον τὸν ἐν Μύροις, θεῖόν τε Γρηγόριον, πρῶτον ταύτης δομήτορα, σὺν Ἀναστασίᾳ τε Ὁσιοπαρθενομάρτυρι· φρουρεῖτε ὑμῶν θείαις πρεσβείαις, ποίμνην ἡμᾶς ἀεὶ τιμῶσαν.

Ἕτερον, τοῦ ἁγίου Νικολάου. Ἦχος γ΄. Θείας πίστεως.

Λύχνος ἄσβεστος τῆς Ἐκκλησίας, τεῖχος ἄῤῥηκτον Ὀρθοδοξίας, σὺ ἀνεδείχθης ποιμενάρχα Νικόλαε, τρικυμιῶν ἐκλυτροῦσαι τοὺς πλέοντας, καὶ τοῦ θανάτου ἁρπάζεις φαινόμενος· ὢ τῆς χάριτος! ἀλλὰ καὶ ταύτην τὴν ποίμνην σου, σῴζεις τιμῶσάν σε πάσης κακώσεως.

Εἰς τὸν ἀσπασμόν. Ἦχος β΄. Πάντων προστατεύεις.

Δεῦτε ἀσπασώμεθα πιστῶς, καὶ μετ’ εὐλαβείας καὶ πόθου, γονυκλινῶς ἀδελφοί, εἰκόνα τὴν πάντιμον, τοῦ Νικολάου σεπτῶς, Γρηγορίου σὺν ἅμα τε, μονῆς τῶν ἐφόρων, χάριν ἀρυόμενοι τοῦ θείου Πνεύματος, κράζοντες αὐτοῖς μετὰ φόβου, σπεύσατε λυτρώσατε πάντας, τοὺς προσκαλουμένους ὑμᾶς Ἅγιοι.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, ὦ Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

